# ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Β

1 Παῦλος ἀπόστολος *Ἰησοῦ Χριστοῦ διὰ
θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός, τῇ
ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, σὺν
τοῖς ἁγίοις πᾶσι τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ·
2 χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν
καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

3 Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῶν
†οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως,
4 ὁ παρακαλῶν ἡμᾶς ‡ἐπὶ πάσῃ τῇ θλίψει
ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν
τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως
ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ.
5 Ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ
Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ §τοῦ Χριστοῦ
περισσεύει καὶ ἡ παράκλησις ἡμῶν. 6 Εἴτε δὲ
θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ

* **1:1** ιησου χριστου ¦ χριστου ιησου CT † **1:3** οικτιρμων ¦ οικτειρμων TH ‡ **1:4** επι ¦ εν ANT § **1:5** του ¦ — ANT TR

σωτηρίας, *τῆς ἐνεργουμένης ἐν ὑπομονῇ
τῶν αὐτῶν παθημάτων ὧν καὶ ἡμεῖς
πάσχομεν· καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ
ὑμῶν· εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν
παρακλήσεως καὶ σωτηρίας· 7 εἰδότες ὅτι
†ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω
καὶ τῆς παρακλήσεως.
8 Οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοί,
‡ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης §ἡμῖν
ἐν τῇ Ἀσίᾳ, ὅτι καθ᾽ ὑπερβολὴν *ἐβαρήθημεν
ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ
τοῦ ζῇν. 9 †Ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς τὸ
ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ
πεποιθότες ὦμεν ἐφ᾽ ἑαυτοῖς ἀλλ᾽ ἐπὶ τῷ
Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς· 10 ὃς ἐκ
τηλικούτου θανάτου ‡ἐρρύσατο ἡμᾶς καὶ
§ῥύεται, εἰς ὃν ἠλπίκαμεν ὅτι καὶ ἔτι ῥύσεται,
11 συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ
δεήσει, ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς

---

* **1:6** της ενεργουμενης εν υπομονη των αυτων παθηματων ων και ημεις πασχομεν και η ελπις ημων βεβαια υπερ υμων ειτε παρακαλουμεθα υπερ της υμων παρακλησεως και σωτηριας 67.2% ¦ ειτε παρακαλουμεθα υπερ της υμων παρακλησεως της ενεργουμενης εν υπομονη των αυτων παθηματων ων και ημεις πασχομεν και η ελπις ημων βεβαια υπερ υμων NA SBL WH 4% ¦ της ενεργουμενης εν υπομονη των αυτων παθηματων ων και ημεις πασχομεν ειτε παρακαλουμεθα υπερ της υμων παρακλησεως και σωτηριας και η ελπις ημων βεβαια υπερ υμων TR 0.8% † **1:7** ωσπερ ¦ ως CT ‡ **1:8** υπερ ¦ περι TH § **1:8** ημιν 90.1% ¦ — CT 8.2% * **1:8** εβαρηθημεν υπερ δυναμιν ¦ υπερ δυναμιν εβαρηθημεν CT † **1:9** αλλα ¦ αλλ NA28 ‡ **1:10** ερρυσατο ¦ ερυσατο WH § **1:10** ρυεται ¦ ρυσεται CT

χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ *ὑμῶν.
12 Ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστί, τὸ
μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν
†ἁπλότητι καὶ ‡εἰλικρινείᾳ §Θεοῦ, *οὐκ
ἐν σοφίᾳ σαρκικῇ ἀλλʼ ἐν χάριτι Θεοῦ,
ἀνεστράφημεν ἐν τῷ κόσμῳ, περισσοτέρως
δὲ πρὸς ὑμᾶς. 13 Οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν,
ἀλλʼ ἢ ἃ ἀναγινώσκετε ἢ καὶ ἐπιγινώσκετε,
ἐλπίζω δὲ ὅτι †καὶ ἕως τέλους ἐπιγνώσεσθε·
14 καθὼς καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους, ὅτι
καύχημα ὑμῶν ἐσμεν, καθάπερ καὶ ὑμεῖς
ἡμῶν, ἐν τῇ ἡμέρᾳ τοῦ ‡Κυρίου Ἰησοῦ.
15 Καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην
§ἐλθεῖν πρὸς ὑμᾶς τὸ πρότερον, ἵνα δευτέραν
*χάριν †ἔχητε· 16 καὶ διʼ ὑμῶν διελθεῖν εἰς
Μακεδονίαν, καὶ πάλιν ἀπὸ Μακεδονίας
ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ὑφʼ ὑμῶν προπεμφθῆναι
εἰς τὴν Ἰουδαίαν. 17 Τοῦτο οὖν ‡βουλευόμενος,
μήτι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην; Ἢ ἃ
βουλεύομαι, κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ
παρʼ ἐμοὶ τὸ Ναί, ναὶ καὶ τὸ Οὔ, οὔ; 18 Πιστὸς
δὲ ὁ Θεός, ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ

* **1:11** υμων ¦ ημων ANT CT TR † **1:12** απλοτητι 94.3% ¦ αγιοτητι SBL TH WH 4.5% ‡ **1:12** ειλικρινεια ¦ ειλικρινια WH § **1:12** θεου ¦ του θεου CT * **1:12** ουκ ¦ και ουκ NA WH † **1:13** και ¦ — CT ‡ **1:14** κυριου ¦ κυριου ημων NA SBL WH § **1:15** ελθειν προς υμας το προτερον 57.7% ¦ προς υμας ελθειν το προτερον PCK 21.3% ¦ προτερον προς υμας ελθειν CT 7% ¦ προς υμας ελθειν προτερον ANT TR 2.3% * **1:15** χαριν ¦ χαραν WH † **1:15** εχητε ¦ σχητε CT ‡ **1:17** βουλευομενος ¦ βουλομενος ANT CT

§ἐγένετο Ναὶ καὶ Οὔ. 19 Ὁ *γὰρ τοῦ Θεοῦ υἱὸς
†Ἰησοῦς Χριστὸς ὁ ἐν ὑμῖν δι᾽ ἡμῶν κηρυχθείς,
δι᾽ ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου, οὐκ
ἐγένετο Ναὶ καὶ Οὔ, ἀλλὰ Ναὶ ἐν αὐτῷ
γέγονεν. 20 Ὅσαι γὰρ ἐπαγγελίαι Θεοῦ, ἐν
αὐτῷ τὸ Ναί, ‡καὶ ἐν αὐτῷ τὸ Ἀμήν, τῷ Θεῷ
πρὸς δόξαν δι᾽ ἡμῶν. 21 Ὁ δὲ βεβαιῶν ἡμᾶς
σὺν ὑμῖν εἰς Χριστόν, καὶ χρίσας ἡμᾶς, Θεός·
22 ὁ καὶ σφραγισάμενος ἡμᾶς, καὶ δοὺς τὸν
ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις
ἡμῶν.
23 Ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι
ἐπὶ τὴν ἐμὴν ψυχήν, ὅτι φειδόμενος ὑμῶν
οὐκέτι ἦλθον εἰς Κόρινθον. 24 Οὐχ ὅτι
κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί
ἐσμεν τῆς χαρᾶς ὑμῶν· τῇ γὰρ πίστει
ἑστήκατε.

# 2

1 Ἔκρινα *δὲ ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν †ἐν
λύπῃ πρὸς ὑμᾶς ἐλθεῖν. 2 Εἰ γὰρ ἐγὼ λυπῶ
ὑμᾶς, καὶ τίς ‡ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ
λυπούμενος ἐξ ἐμοῦ; 3 Καὶ ἔγραψα §ὑμῖν τοῦτο
αὐτό, ἵνα μὴ ἐλθὼν λύπην *ἔχω ἀφ᾽ ὧν ἔδει με
χαίρειν, πεποιθὼς ἐπὶ πάντας ὑμᾶς, ὅτι ἡ ἐμὴ

---

§ **1:18** εγενετο ¦ εστι CT * **1:19** γαρ του θεου ¦ του θεου γαρ CT † **1:19** ιησους χριστος ¦ χριστος ιησους WH ‡ **1:20** και εν αυτω 90.3% ¦ διο και δι αυτου CT 6.8% * **2:1** δε ¦ γαρ NA SBL WH † **2:1** εν λυπη προς υμας ελθειν ¦ ελθειν εν λυπη προς υμας TR ¦ εν λυπη ελθειν προς υμας ANT ‡ **2:2** εστιν ¦ — CT § **2:3** υμιν ¦ — CT * **2:3** εχω ¦ σχω CT

χαρὰ πάντων ὑμῶν ἐστιν. 4 Ἐκ γὰρ πολλῆς
θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν
διὰ πολλῶν δακρύων, οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ
τὴν ἀγάπην ἵνα γνῶτε ἣν ἔχω περισσοτέρως
εἰς ὑμᾶς.
5 Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν,
†ἀλλὰ ἀπὸ μέρους—ἵνα μὴ ἐπιβαρῶ—πάντας
ὑμᾶς. 6 Ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ
ὑπὸ τῶν πλειόνων· 7 ὥστε τοὐναντίον ‡μᾶλλον
ὑμᾶς χαρίσασθαι καὶ παρακαλέσαι, μήπως τῇ
περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. 8 Διὸ
παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν ἀγάπην.
9 Εἰς τοῦτο γὰρ καὶ ἔγραψα, ἵνα γνῶ τὴν
δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε.
10 Ὧ δέ τι χαρίζεσθε, §καὶ ἐγώ· καὶ γὰρ ἐγὼ
*εἴ τι κεχάρισμαι, ᾧ κεχάρισμαι, δι᾽ ὑμᾶς ἐν
προσώπῳ Χριστοῦ, 11 ἵνα μὴ πλεονεκτηθῶμεν
ὑπὸ τοῦ Σατανᾶ· οὐ γὰρ αὐτοῦ τὰ νοήματα
ἀγνοοῦμεν.
12 Ἐλθὼν δὲ εἰς τὴν Τρῳάδα εἰς τὸ
εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ θύρας μοι
ἀνεῳγμένης ἐν Κυρίῳ, 13 οὐκ ἔσχηκα ἄνεσιν
τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν με Τίτον τὸν
ἀδελφόν μου· †ἀλλὰ ἀποταξάμενος αὐτοῖς
ἐξῆλθον εἰς Μακεδονίαν.
14 Τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι
ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς
γνώσεως αὐτοῦ φανεροῦντι δι᾽ ἡμῶν ἐν παντὶ

† **2:5** αλλα ¦ αλλ NA28 TR ‡ **2:7** μαλλον ¦ — WH § **2:10** και εγω ¦ καγω CT * **2:10** ει τι κεχαρισμαι ω 81.6% ¦ ο κεχαρισμαι ει τι CT 3.3% † **2:13** αλλα ¦ αλλ NA28

τόπῳ. 15 Ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ
ἐν τοῖς σῳζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις·
16 οἷς μὲν ὀσμὴ ‡θανάτου εἰς θάνατον, οἷς
δὲ ὀσμὴ §ζωῆς εἰς ζωήν. Καὶ πρὸς ταῦτα
τίς ἱκανός; 17 Οὐ γάρ ἐσμεν ὡς οἱ *λοιποί,
καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ· ἀλλ᾽ ὡς ἐξ
†εἰλικρινείας, ἀλλ᾽ ὡς ἐκ Θεοῦ, ‡κατενώπιον
τοῦ Θεοῦ, ἐν Χριστῷ λαλοῦμεν.

# 3

1 Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν;
*Εἰ μὴ χρῄζομεν, ὥς τινες, συστατικῶν
ἐπιστολῶν πρὸς ὑμᾶς, ἢ ἐξ ὑμῶν †συστατικῶν;
2 Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε, ‡ἐγγεγραμμένη
ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη καὶ
ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων·
3 φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ
διακονηθεῖσα ὑφ᾽ ἡμῶν, §ἐγγεγραμμένη οὐ
μέλανι, ἀλλὰ πνεύματι Θεοῦ ζῶντος, οὐκ
ἐν πλαξὶ λιθίναις, *ἀλλ᾽ ἐν πλαξὶ †καρδίαις
σαρκίναις.
4 Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ
Χριστοῦ πρὸς τὸν Θεόν· 5 οὐχ ὅτι ‡ἱκανοί
ἐσμεν ἀφ᾽ ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ

---

‡ **2:16** θανατου ¦ εκ θανατου CT § **2:16** ζωης ¦ εκ ζωης CT * **2:17** λοιποι 51.9% ¦ πολλοι BYZ CT TR 46.1% † **2:17** ειλικρινειας ¦ ειλικρινιας WH ‡ **2:17** κατενωπιον του 87.3% ¦ κατεναντι CT 3.5% * **3:1** ει ¦ η CT SCR † **3:1** συστατικων ¦ — CT ‡ **3:2** εγγεγραμμενη ¦ ενγεγραμμενη TH WH § **3:3** εγγεγραμμενη ¦ ενγεγραμμενη TH WH * **3:3** αλλ ¦ αλλα ANT † **3:3** καρδιαις ¦ καρδιας TR ‡ **3:5** ικανοι εσμεν αφ εαυτων ¦ αφ εαυτων ικανοι εσμεν CT

§ἑαυτῶν, ἀλλ᾽ ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ·
6 ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς
διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος·
τὸ γὰρ γράμμα *ἀποκτένει, τὸ δὲ πνεῦμα
ζῳοποιεῖ.
7 Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν
γράμμασιν, ἐντετυπωμένη †ἐν λίθοις, ἐγενήθη
ἐν δόξῃ, ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς
υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον ‡Μωϋσέως
διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ, τὴν
καταργουμένην, 8 πῶς οὐχὶ μᾶλλον ἡ
διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ;
9 Εἰ γὰρ §ἡ διακονία τῆς κατακρίσεως
δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία
τῆς δικαιοσύνης *ἐν δόξῃ. 10 Καὶ γὰρ †οὐ
δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ
μέρει, ‡ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. 11 Εἰ
γὰρ τὸ καταργούμενον, διὰ δόξης, πολλῷ
μᾶλλον τὸ μένον, ἐν δόξῃ.
12 Ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ
παρρησίᾳ χρώμεθα· 13 καὶ οὐ καθάπερ
§Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον
*ἑαυτοῦ, πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς
Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου·
14 †ἀλλ᾽ ἐπωρώθη τὰ νοήματα αὐτῶν· ἄχρι

---

§ **3:5** ἑαυτῶν ¦ αὐτῶν SBL WH * **3:6** αποκτενει ¦ αποκτεινει TR WH ¦ αποκτεννει ANT NA SBL TH † **3:7** εν ¦ — CT ‡ **3:7** μωυσεως ¦ μωυσεος PCK ¦ μωσεως TR § **3:9** ἡ διακονία ¦ τῇ διακονίᾳ NA SBL TH * **3:9** εν ¦ — CT † **3:10** ου ¦ ουδε ANT TR ‡ **3:10** ενεκεν ¦ εινεκεν CT PCK § **3:13** μωυσης ¦ μωσης TR * **3:13** ἑαυτοῦ ¦ αὑτοῦ CT † **3:14** αλλ ¦ αλλα NA27 SBL WH

γὰρ τῆς ‡σήμερον τὸ αὐτὸ κάλυμμα ἐπὶ
τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει
μὴ ἀνακαλυπτόμενον, §ὅ τι ἐν Χριστῷ
καταργεῖται. 15 Ἀλλ᾽ ἕως σήμερον, ἡνίκα
*ἀναγινώσκεται †Μωϋσῆς, κάλυμμα ἐπὶ
τὴν καρδίαν αὐτῶν κεῖται. 16 Ἡνίκα ‡δ᾽
ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ
κάλυμμα. 17 Ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν·
οὗ δὲ τὸ πνεῦμα Κυρίου, §ἐκεῖ ἐλευθερία.
18 Ἡμεῖς δὲ πάντες, ἀνακεκαλυμμένῳ
προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι,
τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης
εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου πνεύματος.

# 4

1 Διὰ τοῦτο ἔχοντες τὴν διακονίαν ταύτην,
καθὼς ἠλεήθημεν, οὐκ *ἐκκακοῦμεν· 2 †ἀλλὰ
ἀπειπάμεθα τὰ κρυπτὰ τῆς αἰσχύνης, μὴ
περιπατοῦντες ἐν πανουργίᾳ μηδὲ δολοῦντες
τὸν λόγον τοῦ Θεοῦ, ἀλλὰ τῇ φανερώσει
τῆς ἀληθείας ‡συνιστῶντες ἑαυτοὺς πρὸς
πᾶσαν συνείδησιν ἀνθρώπων ἐνώπιον τοῦ
Θεοῦ. 3 Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον τὸ
εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ
κεκαλυμμένον· 4 ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος

‡ **3:14** σημερον ¦ σημερον ημερας CT § **3:14** ο τι ¦ οτι ANT CT HF PCK * **3:15** αναγινωσκεται ¦ αν αναγινωσκηται CT † **3:15** μωυσης ¦ μωσης PCK TR ‡ **3:16** δ αν ¦ δε εαν NA SBL WH § **3:17** εκει ¦ — CT * **4:1** εκκακουμεν ¦ εγκακουμεν CT † **4:2** αλλα ¦ αλλ ANT NA[28] TR ‡ **4:2** συνιστωντες ¦ συνιστανοντες NA SBL WH ¦ συνισταντες TH

τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων,
είς τὸ μὴ αὐγάσαι §αὐτοῖς τὸν φωτισμὸν
τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ, ὅς
ἐστιν εἰκὼν τοῦ Θεοῦ. 5 Οὐ γὰρ ἑαυτοὺς
κηρύσσομεν, *ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον·
ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν. 6 Ὅτι
ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς †λάμψαι,
ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς
φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν
προσώπῳ ‡Ἰησοῦ Χριστοῦ.
7 Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν
ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς
δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν· 8 ἐν
παντὶ θλιβόμενοι, ἀλλ᾽ οὐ στενοχωρούμενοι·
ἀπορούμενοι, ἀλλ᾽ οὐκ ἐξαπορούμενοι·
9 διωκόμενοι, ἀλλ᾽ οὐκ ἐγκαταλειπόμενοι·
καταβαλλόμενοι, ἀλλ᾽ οὐκ ἀπολλύμενοι·
10 πάντοτε τὴν νέκρωσιν τοῦ §Κυρίου Ἰησοῦ
ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ
τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ.
11 Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες εἰς θάνατον
παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ
τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν.
12 Ὥστε ὁ *μὲν θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ
δὲ ζωὴ ἐν ὑμῖν.
13 Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως,
κατὰ τὸ γεγραμμένον, Ἐπίστευσα, διὸ

§ **4:4** αυτοις ¦ — CT * **4:5** αλλα χριστον ιησουν ¦ αλλα ιησουν χριστον NA27 ¦ αλλ ιησουν χριστον NA28 † **4:6** λαμψαι ¦ λαμψει CT ‡ **4:6** ιησου ¦ — SBL WH § **4:10** κυριου ¦ — CT * **4:12** μεν ¦ — CT

ἐλάλησα, καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ
λαλοῦμεν· 14 εἰδότες ὅτι ὁ ἐγείρας τὸν †Κύριον
Ἰησοῦν καὶ ἡμᾶς ‡διὰ Ἰησοῦ ἐγερεῖ, καὶ
παραστήσει σὺν ὑμῖν. 15 Τὰ γὰρ πάντα
δι᾽ ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα διὰ τῶν
πλειόνων τὴν εὐχαριστίαν περισσεύσῃ εἰς
τὴν δόξαν τοῦ Θεοῦ.
16 Διὸ οὐκ §ἐκκακοῦμεν, ἀλλ᾽ εἰ καὶ ὁ
ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ᾽ ὁ
*ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. 17 Τὸ
γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως †ἡμῶν
καθ᾽ ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος
δόξης κατεργάζεται ἡμῖν, 18 μὴ σκοπούντων
ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα·
τὰ γὰρ βλεπόμενα πρόσκαιρα· τὰ δὲ μὴ
βλεπόμενα αἰώνια.

# 5

1 Οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία
τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ
ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς
οὐρανοῖς. 2 Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ
οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι
ἐπιποθοῦντες· 3 εἴγε καὶ *ἐνδυσάμενοι οὐ
γυμνοὶ εὑρεθησόμεθα. 4 Καὶ γὰρ οἱ ὄντες ἐν
τῷ σκήνει στενάζομεν βαρούμενοι· †ἐφ᾽ ᾧ οὐ
θέλομεν ἐκδύσασθαι, ἀλλ᾽ ἐπενδύσασθαι, ἵνα
καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. 5 Ὁ δὲ

† **4:14** κυριον ¦ — SBL ‡ **4:14** δια ¦ συν CT § **4:16** εκκακουμεν ¦ εγκακουμεν CT * **4:16** εσωθεν ¦ εσω ημων CT † **4:17** ημων ¦ — WH * **5:3** ενδυσαμενοι ¦ εκδυσαμενοι NA † **5:4** εφ ω ¦ επειδη ST

κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο Θεός, ὁ
‡καὶ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ πνεύματος.

6 Θαρροῦντες οὖν πάντοτε, καὶ εἰδότες
ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι ἐκδημοῦμεν
ἀπὸ τοῦ Κυρίου — 7 διὰ πίστεως γὰρ
περιπατοῦμεν, οὐ διὰ εἴδους— 8 θαρροῦμεν
δέ, καὶ εὐδοκοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ
σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον.
9 Διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες,
εἴτε ἐκδημοῦντες, εὐάρεστοι αὐτῷ εἶναι.
10 Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ
ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα
κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς
ἃ ἔπραξεν, εἴτε ἀγαθόν, εἴτε §κακόν.

11 Εἰδότες οὖν τὸν φόβον τοῦ Κυρίου
ἀνθρώπους πείθομεν, Θεῷ δὲ πεφανερώμεθα·
ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν
πεφανερῶσθαι. 12 Οὐ *γὰρ πάλιν ἑαυτοὺς
συνιστάνομεν ὑμῖν, †ἀλλὰ ἀφορμὴν διδόντες
ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν, ἵνα ἔχητε πρὸς
τοὺς ἐν προσώπῳ καυχωμένους καὶ ‡οὐ
καρδίᾳ. 13 Εἴτε γὰρ ἐξέστημεν, Θεῷ· εἴτε
σωφρονοῦμεν, ὑμῖν. 14 Ἡ γὰρ ἀγάπη τοῦ
Χριστοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο, ὅτι
§εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες
ἀπέθανον· 15 καὶ ὑπὲρ πάντων ἀπέθανεν ἵνα οἱ
ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ

‡ **5:5** και ¦ — CT § **5:10** κακον 93.8% ¦ φαυλον CT 4.3% * **5:12** γαρ ¦ — CT † **5:12** αλλα ¦ αλλ NA[28] ‡ **5:12** ου ¦ μη εν CT § **5:14** ει ¦ — BYZ CT

*αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι.
16 Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν
κατὰ σάρκα· εἰ †δὲ καὶ ἐγνώκαμεν κατὰ
σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν.
17 Ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ
ἀρχαῖα παρῆλθεν, ἰδού, γέγονε ‡καινὰ τὰ
πάντα. 18 Τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ, τοῦ
καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ §Ἰησοῦ
Χριστοῦ, καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς
καταλλαγῆς· 19 ὡς ὅτι Θεὸς ἦν ἐν Χριστῷ
κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος
αὐτοῖς τὰ παραπτώματα αὐτῶν, καὶ θέμενος
*ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς. 20 Ὑπὲρ
Χριστοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ
παρακαλοῦντος δι᾽ ἡμῶν· δεόμεθα ὑπὲρ
Χριστοῦ, καταλλάγητε τῷ Θεῷ. 21 Τὸν †γὰρ
μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν
ἐποίησεν, ἵνα ἡμεῖς ‡γενώμεθα δικαιοσύνη
Θεοῦ ἐν αὐτῷ.

# 6

1 Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς
κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς—
2 λέγει γάρ,

Καιρῷ δεκτῷ ἐπήκουσά σου,
καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι·

---

* **5:15** αυτων ¦ παντων PCK † **5:16** δε ¦ — CT ‡ **5:17** καινα τα παντα 55.3% ¦ τα παντα καινα BYZ 38.8% ¦ καινα CT 2.5% § **5:18** ιησου ¦ — CT * **5:19** εν ¦ — PCK † **5:21** γαρ ¦ — CT ‡ **5:21** γενωμεθα ¦ γινωμεθα TR

ἰδού, νῦν καιρὸς εὐπρόσδεκτος, ἰδού, νῦν
ἡμέρα σωτηρίας — 3 μηδεμίαν ἐν μηδενὶ
διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ
διακονία· 4 ἀλλ᾽ ἐν παντὶ *συνιστῶντες
ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ,
ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις,
5 ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις,
ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, 6 ἐν
ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν
χρηστότητι, ἐν Πνεύματι Ἁγίῳ, ἐν ἀγάπῃ
ἀνυποκρίτῳ, 7 ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει
Θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης
τῶν δεξιῶν καὶ ἀριστερῶν, 8 διὰ δόξης
καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας·
ὡς πλάνοι καὶ ἀληθεῖς· 9 ὡς ἀγνοούμενοι,
καὶ ἐπιγινωσκόμενοι· ὡς ἀποθνῄσκοντες,
καὶ ἰδού, ζῶμεν· ὡς παιδευόμενοι, καὶ
μὴ θανατούμενοι· 10 ὡς λυπούμενοι, ἀεὶ
δὲ χαίροντες· ὡς πτωχοί, πολλοὺς δὲ
πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα
κατέχοντες.

11 Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς,
Κορίνθιοι, ἡ καρδία ἡμῶν πεπλάτυνται. 12 Οὐ
στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ
ἐν τοῖς σπλάγχνοις ὑμῶν. 13 Τὴν δὲ αὐτὴν
ἀντιμισθίαν—ὡς τέκνοις λέγω—πλατύνθητε
καὶ ὑμεῖς.

14 Μὴ †γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις·
τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ;

* **6:4** συνιστωντες ¦ συνισταντες NA TH ¦ συνιστανοντες SBL WH † **6:14** γινεσθε ¦ γεινεσθε TH

‡Τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; 15 Τίς
δὲ συμφώνησις §Χριστῷ πρὸς *Βελίαρ; Ἢ
τίς μερὶς πιστῷ μετὰ ἀπίστου; 16 Τίς δὲ
†συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων;
‡Ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος, καθὼς
εἶπεν ὁ Θεὸς ὅτι

Ἐνοικήσω ἐν αὐτοῖς, καὶ §ἐμπεριπατήσω·
καὶ ἔσομαι αὐτῶν Θεός,
καὶ αὐτοὶ ἔσονταί *μοι λαός.
17 Διό, †Ἐξέλθετε ἐκ μέσου αὐτῶν
καὶ ἀφορίσθητε, λέγει Κύριος,
καὶ ἀκαθάρτου μὴ ἅπτεσθε·
κἀγὼ εἰσδέξομαι ὑμᾶς,
18 καὶ ἔσομαι ὑμῖν εἰς πατέρα,
καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας,
λέγει Κύριος παντοκράτωρ.

# 7

1 Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας,
ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ
παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος,
ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ.
2 Χωρήσατε ἡμᾶς· οὐδένα ἠδικήσαμεν,
οὐδένα ἐφθείραμεν, οὐδένα ἐπλεονεκτήσαμεν.

---

‡ **6:14** τις δε ¦ η τις CT § **6:15** χριστω ¦ χριστου CT * **6:15** βελιαρ ¦ βελιαλ ANT SCR † **6:16** συγκαταθεσις ¦ συνκαταθεσις WH ‡ **6:16** υμεις … εστε ¦ ημεις … εσμεν CT § **6:16** εμπεριπατησω ¦ ενπεριπατησω WH * **6:16** μοι ¦ μου CT † **6:17** εξελθετε ¦ εξελθατε ANT CT

3 *Οὐ πρὸς κατάκρισιν λέγω· προείρηκα
γάρ, ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστε εἰς
τὸ συναποθανεῖν καὶ †συζῇν. 4 Πολλή μοι
παρρησία πρὸς ὑμᾶς, πολλή μοι καύχησις
ὑπὲρ ὑμῶν· πεπλήρωμαι τῇ παρακλήσει,
ὑπερπερισσεύομαι τῇ χαρᾷ ἐπὶ πάσῃ τῇ θλίψει
ἡμῶν.
5 Καὶ γὰρ ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν
οὐδεμίαν ἔσχηκεν ἄνεσιν ἡ σὰρξ ἡμῶν, ἀλλ᾽
ἐν παντὶ θλιβόμενοι· ἔξωθεν μάχαι, ἔσωθεν
φόβοι. 6 Ἀλλ᾽ ὁ παρακαλῶν τοὺς ταπεινοὺς
παρεκάλεσεν ἡμᾶς, ὁ Θεός, ἐν τῇ παρουσίᾳ
Τίτου· 7 οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ,
ἀλλὰ καὶ ἐν τῇ παρακλήσει ᾗ παρεκλήθη ἐφ᾽
ὑμῖν, ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν,
τὸν ὑμῶν ὀδυρμόν, τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμοῦ,
ὥστε με μᾶλλον χαρῆναι. 8 Ὅτι εἰ καὶ ἐλύπησα
ὑμᾶς ἐν τῇ ἐπιστολῇ, οὐ μεταμέλομαι, εἰ καὶ
μετεμελόμην· βλέπω ‡γὰρ ὅτι ἡ ἐπιστολὴ
ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς.
9 Νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ᾽ ὅτι
ἐλυπήθητε εἰς μετάνοιαν· ἐλυπήθητε γὰρ κατὰ
Θεόν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν. 10 Ἡ
γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν
ἀμεταμέλητον §κατεργάζεται· ἡ δὲ τοῦ
κόσμου λύπη θάνατον κατεργάζεται. 11 Ἰδοὺ
γάρ, αὐτὸ τοῦτο, τὸ κατὰ Θεὸν λυπηθῆναι
*ὑμᾶς, πόσην κατειργάσατο ὑμῖν σπουδήν,

* **7:3** ου προς κατακρισιν ¦ προς κατακρισιν ου CT † **7:3** συζην ¦ συνζην TH WH ‡ **7:8** γαρ ¦ — SBL WH § **7:10** κατεργαζεται ¦ εργαζεται CT * **7:11** υμας ¦ — CT

†ἀλλὰ ἀπολογίαν, ‡ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, §ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, *ἀλλὰ ἐκδίκησιν. Ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι †ἐν τῷ πράγματι.
12 Ἄρα εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ ‡εἵνεκεν τοῦ ἀδικήσαντος, §οὐδὲ *εἵνεκεν τοῦ ἀδικηθέντος, ἀλλ᾽ †εἵνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ‡ὑμῶν τὴν ὑπὲρ ἡμῶν πρὸς ὑμᾶς ἐνώπιον τοῦ Θεοῦ.
13 Διὰ τοῦτο παρακεκλήμεθα.

Ἐπὶ §δὲ τῇ παρακλήσει ὑμῶν περισσοτέρως μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου, ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν.
14 Ὅτι εἴ τι αὐτῷ ὑπὲρ ὑμῶν κεκαύχημαι, οὐ κατῃσχύνθην· ἀλλ᾽ ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτω καὶ ἡ καύχησις ἡμῶν *ἡ ἐπὶ Τίτου ἀλήθεια ἐγενήθη.
15 Καὶ τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως εἰς ὑμᾶς ἐστιν, ἀναμιμνῃσκομένου τὴν πάντων ὑμῶν ὑπακοήν, ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν.
16 †Χαίρω ὅτι ἐν παντὶ θαρρῶ ἐν ὑμῖν.

---

† **7:11** αλλα ¦ αλλ NA28 ‡ **7:11** αλλα ¦ αλλ NA28 § **7:11** αλλα ¦ αλλ NA28 PCK * **7:11** αλλα ¦ αλλ NA28 PCK TR † **7:11** εν ¦ — CT ‡ **7:12** εινεκεν ¦ ενεκεν BYZ CT § **7:12** ουδε ¦ αλλ ουδε WH * **7:12** εινεκεν ¦ ενεκεν BYZ CT † **7:12** εινεκεν ¦ ενεκεν BYZ CT ‡ **7:12** υμων την υπερ ημων ¦ ημων την υπερ υμων SCR § **7:13** δε τη παρακλησει υμων περισσοτερως ¦ τη παρακλησει υμων περισσοτερως δε BYZ PCK TR ¦ δε τη παρακλησει ημων περισσοτερως CT * **7:14** η ¦ — WH † **7:16** χαιρω ¦ χαιρω ουν SCR

# 8

1 *Γνωρίζομεν δὲ ὑμῖν, ἀδελφοί, τὴν χάριν
τοῦ Θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις
τῆς Μακεδονίας· 2 ὅτι ἐν πολλῇ δοκιμῇ
θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν καὶ ἡ
κατὰ βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς
†τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν. 3 Ὅτι
κατὰ δύναμιν, μαρτυρῶ, καὶ ‡ὑπὲρ δύναμιν
αὐθαίρετοι, 4 μετὰ πολλῆς παρακλήσεως
δεόμενοι ἡμῶν, τὴν χάριν καὶ τὴν κοινωνίαν
τῆς διακονίας τῆς εἰς τοὺς §ἁγίους· 5 καὶ
οὐ καθὼς ἠλπίσαμεν, *ἀλλ᾽ ἑαυτοὺς ἔδωκαν
πρῶτον τῷ Κυρίῳ, καὶ ἡμῖν διὰ θελήματος
Θεοῦ 6 εἰς τὸ παρακαλέσαι ἡμᾶς Τίτον, ἵνα
καθὼς προενήρξατο, οὕτω καὶ ἐπιτελέσῃ εἰς
ὑμᾶς καὶ τὴν χάριν ταύτην. 7 Ἀλλ᾽ ὥσπερ
ἐν παντὶ περισσεύετε, πίστει, καὶ λόγῳ, καὶ
γνώσει, καὶ πάσῃ σπουδῇ, καὶ τῇ ἐξ †ὑμῶν
ἐν ἡμῖν ἀγάπῃ, ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι
περισσεύητε.

8 Οὐ κατ᾽ ἐπιταγὴν λέγω, ἀλλὰ διὰ τῆς
ἑτέρων σπουδῆς καὶ τὸ τῆς ὑμετέρας ἀγάπης
γνήσιον δοκιμάζων. 9 Γινώσκετε γὰρ τὴν
χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι᾽
‡ὑμᾶς ἐπτώχευσε, πλούσιος ὤν, ἵνα ὑμεῖς τῇ
ἐκείνου πτωχείᾳ πλουτήσητε. 10 Καὶ γνώμην
ἐν τούτῳ δίδωμι· τοῦτο γὰρ ὑμῖν συμφέρει,

---

* **8:1** γνωριζομεν ¦ γνωριζω ANT † **8:2** τον πλουτον ¦ το πλουτος CT ‡ **8:3** υπερ ¦ παρα CT § **8:4** αγιους ¦ αγιους δεξασθαι ημας PCK TR * **8:5** αλλ ¦ αλλα NA27 † **8:7** υμων εν ημιν ¦ ημων εν υμιν NA SBL WH ‡ **8:9** υμας ¦ ημας PCK

οἵτινες οὐ μόνον τὸ ποιῆσαι ἀλλὰ καὶ τὸ
θέλειν προενήρξασθε ἀπὸ πέρυσι. 11 Νυνὶ δὲ
καὶ τὸ ποιῆσαι ἐπιτελέσατε, ὅπως, καθάπερ ἡ
προθυμία τοῦ θέλειν, οὕτω καὶ τὸ ἐπιτελέσαι
ἐκ τοῦ ἔχειν. 12 Εἰ γὰρ ἡ προθυμία πρόκειται,
καθὸ ἐὰν ἔχῃ §τις, εὐπρόσδεκτος, οὐ καθὸ
οὐκ ἔχει. 13 Οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν
*δὲ θλίψις· ἀλλ᾽ ἐξ ἰσότητος, ἐν τῷ νῦν
καιρῷ τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων
ὑστέρημα, 14 ἵνα καὶ τὸ ἐκείνων περίσσευμα
γένηται εἰς τὸ ὑμῶν ὑστέρημα· ὅπως γένηται
ἰσότης, 15 καθὼς γέγραπται, Ὁ τὸ πολύ, οὐκ
ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησε.
16 Χάρις δὲ τῷ Θεῷ τῷ †διδόντι τὴν
αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ
Τίτου. 17 Ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο,
σπουδαιότερος δὲ ὑπάρχων, αὐθαίρετος
ἐξῆλθε πρὸς ὑμᾶς. 18 Συνεπέμψαμεν δὲ
μετ᾽ αὐτοῦ τὸν ἀδελφόν, οὗ ὁ ἔπαινος ἐν
τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν·
19 οὐ μόνον δέ, ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ
τῶν ἐκκλησιῶν συνέκδημος ἡμῶν ‡σὺν τῇ
χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν
πρὸς τὴν §αὐτοῦ τοῦ Κυρίου δόξαν καὶ
προθυμίαν *ἡμῶν· 20 στελλόμενοι τοῦτο, μή
τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ
τῇ διακονουμένῃ ὑφ᾽ ἡμῶν· 21 †προνοούμενοι

§ **8:12** τις ¦ — CT * **8:13** δε ¦ — CT † **8:16** διδοντι ¦ δοντι NA ‡ **8:19** συν ¦ εν TH WH § **8:19** αυτου ¦ — TH WH * **8:19** ημων ¦ υμων TR † **8:21** προνοουμενοι 83.6% ¦ προνοουμεν γαρ CT 8.8%

καλὰ οὐ μόνον ἐνώπιον Κυρίου ἀλλὰ καὶ
ἐνώπιον ἀνθρώπων. 22 Συνεπέμψαμεν δὲ
αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν, ὃν ἐδοκιμάσαμεν
ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα, νυνὶ
δὲ πολὺ σπουδαιότερον, πεποιθήσει πολλῇ
τῇ εἰς ὑμᾶς. 23 Εἴτε ὑπὲρ Τίτου, κοινωνὸς
ἐμὸς καὶ εἰς ὑμᾶς συνεργός· εἴτε ἀδελφοὶ
ἡμῶν, ἀπόστολοι ἐκκλησιῶν, δόξα Χριστοῦ.
24 Τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν, καὶ ἡμῶν
καυχήσεως ὑπὲρ ὑμῶν, εἰς αὐτοὺς ‡ἐνδείξασθε
§εἰς πρόσωπον τῶν ἐκκλησιῶν.

# 9

1 Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς
τοὺς ἁγίους περισσόν μοί ἐστι τὸ γράφειν
ὑμῖν· 2 οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν,
ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι
Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι· καὶ *ὁ
ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας.
3 Ἔπεμψα δὲ τοὺς ἀδελφούς, ἵνα μὴ τὸ
καύχημα ἡμῶν τὸ ὑπὲρ ὑμῶν κενωθῇ
ἐν τῷ μέρει τούτῳ· ἵνα, καθὼς ἔλεγον,
παρεσκευασμένοι ἦτε· 4 μήπως, ἐὰν ἔλθωσι
σὺν ἐμοὶ Μακεδόνες καὶ εὕρωσιν ὑμᾶς
ἀπαρασκευάστους, καταισχυνθῶμεν ἡμεῖς
—ἵνα μὴ †λέγωμεν ὑμεῖς—ἐν τῇ ὑποστάσει
ταύτῃ ‡τῆς καυχήσεως. 5 Ἀναγκαῖον οὖν
ἡγησάμην παρακαλέσαι τοὺς ἀδελφούς, ἵνα

‡ **8:24** ενδειξασθε ¦ ενδεικνυμενοι NA SBL § **8:24** εις ¦ και εις TR * **9:2** ο εξ ¦ το CT † **9:4** λεγωμεν ¦ λεγω NA ‡ **9:4** της καυχησεως 84.8% ¦ — CT 3.6%

προέλθωσιν εἰς ὑμᾶς, καὶ προκαταρτίσωσι
τὴν §προκατηγγελμένην εὐλογίαν ὑμῶν,
ταύτην ἑτοίμην εἶναι, οὕτως ὡς εὐλογίαν
καὶ μὴ *ὡς πλεονεξίαν.
6 Τοῦτο δέ, ὁ σπείρων φειδομένως,
φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων
ἐπ᾽ εὐλογίαις, ἐπ᾽ εὐλογίαις καὶ θερίσει.
7 Ἕκαστος καθὼς †προαιρεῖται τῇ καρδίᾳ·
μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ
δότην ἀγαπᾷ ὁ Θεός. 8 ‡Δυνατὸς δὲ ὁ Θεὸς
πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα ἐν
παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες
περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν· 9 καθὼς
γέγραπται,

Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν·
ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.

10 Ὁ δὲ ἐπιχορηγῶν §σπέρμα τῷ σπείροντι,
καὶ ἄρτον εἰς βρῶσιν *χορηγήσαι, καὶ
πληθύναι τὸν σπόρον ὑμῶν, καὶ αὐξήσαι τὰ
†γενήματα τῆς δικαιοσύνης ὑμῶν· 11 ἐν παντὶ
πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις
κατεργάζεται δι᾽ ἡμῶν εὐχαριστίαν τῷ Θεῷ.
12 Ὅτι ἡ διακονία τῆς λειτουργίας ταύτης οὐ
μόνον ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα

§ **9:5** προκατηγγελμενην ¦ προεπηγγελμενην CT * **9:5** ως ¦ ωσπερ TR † **9:7** προαιρειται ¦ προηρηται CT ‡ **9:8** δυνατος ¦ δυνατει CT § **9:10** σπερμα ¦ σπορον NA SBL * **9:10** χορηγησαι … πληθυναι … αυξησαι 89.1% ¦ χορηγησει … πληθυνει … αυξησει CT 3% † **9:10** γενηματα ¦ γεννηματα TR

τῶν ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ
πολλῶν εὐχαριστιῶν τῷ Θεῷ· 13 διὰ τῆς
δοκιμῆς τῆς διακονίας ταύτης δοξάζοντες τὸν
Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς
τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ἁπλότητι τῆς
κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας· 14 καὶ
αὐτῶν δεήσει ὑπὲρ ὑμῶν ἐπιποθούντων ὑμᾶς
διὰ τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ ἐφʼ
ὑμῖν. 15 Χάρις ‡δὲ τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ
αὐτοῦ δωρεᾷ.

# 10

1 Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ
τῆς *πρᾳότητος καὶ †ἐπιεικείας τοῦ Χριστοῦ,
ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν,
ἀπὼν δὲ θαρρῶ εἰς ὑμᾶς· 2 δέομαι δέ, τὸ μὴ
παρὼν θαρρῆσαι τῇ πεποιθήσει ᾗ λογίζομαι
τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους
ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας.
3 Ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ
σάρκα στρατευόμεθα— 4 τὰ γὰρ ὅπλα τῆς
στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ
τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων—
5 λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα
ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ,
καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν
ὑπακοὴν τοῦ Χριστοῦ, 6 καὶ ἐν ἑτοίμῳ ἔχοντες
ἐκδικῆσαι πᾶσαν παρακοήν, ὅταν πληρωθῇ
ὑμῶν ἡ ὑπακοή.

‡ **9:15** δε ¦ — CT * **10:1** πραοτητος ¦ πραυτητος CT † **10:1** επιεικειας ¦ επιεικιας WH

7 Τὰ κατὰ πρόσωπον βλέπετε; Εἴ τις
πέποιθεν ἑαυτῷ Χριστοῦ εἶναι, τοῦτο
λογιζέσθω πάλιν ‡ἀφ᾽ ἑαυτοῦ, ὅτι καθὼς
αὐτὸς Χριστοῦ, οὕτω καὶ ἡμεῖς §Χριστοῦ.
8 Ἐάν τε γὰρ *καὶ περισσότερόν τι
καυχήσωμαι περὶ τῆς ἐξουσίας ἡμῶν —ἧς
ἔδωκεν ὁ Κύριος †ἡμῖν εἰς οἰκοδομήν, καὶ οὐκ
εἰς καθαίρεσιν ὑμῶν —οὐκ αἰσχυνθήσομαι·
9 ἵνα μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ
τῶν ἐπιστολῶν. 10 Ὅτι, Αἱ ‡μὲν ἐπιστολαί,
φησί, βαρεῖαι καὶ ἰσχυραί· ἡ δὲ παρουσία τοῦ
σώματος ἀσθενής, καὶ ὁ λόγος ἐξουθενημένος.
11 Τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί ἐσμεν
τῷ λόγῳ δι᾽ ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ
παρόντες τῷ ἔργῳ.

12 Οὐ γὰρ τολμῶμεν §ἐγκρῖναι ἢ *συγκρῖναι
ἑαυτούς τισι τῶν ἑαυτοὺς συνιστανόντων·
†ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες,
καὶ ‡συγκρίνοντες ἑαυτοὺς ἑαυτοῖς, οὐ
§συνιοῦσιν. 13 Ἡμεῖς δὲ *οὐχὶ εἰς τὰ ἄμετρα
καυχησόμεθα, ἀλλὰ κατὰ τὸ μέτρον τοῦ
κανόνος οὗ ἐμέρισεν ἡμῖν ὁ Θεός, μέτρου,
ἐφικέσθαι ἄχρι καὶ ὑμῶν. 14 Οὐ γὰρ ὡς
μὴ ἐφικνούμενοι εἰς ὑμᾶς ὑπερεκτείνομεν
ἑαυτούς· ἄχρι γὰρ καὶ ὑμῶν ἐφθάσαμεν ἐν τῷ

---

‡ **10:7** αφ ¦ εφ CT § **10:7** χριστου ¦ — CT * **10:8** και ¦ — CT † **10:8** ημιν ¦ — CT ‡ **10:10** μεν επιστολαι ¦ επιστολαι μεν CT § **10:12** εγκριναι ¦ ενκριναι TH WH * **10:12** συγκριναι ¦ συνκριναι TH WH † **10:12** αλλα ¦ αλλ NA28 ‡ **10:12** συγκρινοντες ¦ συνκρινοντες TH WH § **10:12** συνιουσιν 85% ¦ συνιασιν CT 4% * **10:13** ουχι ¦ ουκ CT

εὐαγγελίῳ τοῦ Χριστοῦ· 15 οὐκ εἰς τὰ ἄμετρα
καυχώμενοι, ἐν ἀλλοτρίοις κόποις, ἐλπίδα δὲ
ἔχοντες, αὐξανομένης τῆς πίστεως ὑμῶν, ἐν
ὑμῖν μεγαλυνθῆναι κατὰ τὸν κανόνα ἡμῶν
εἰς περισσείαν, 16 εἰς τὰ ὑπερέκεινα ὑμῶν
εὐαγγελίσασθαι, οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς
τὰ ἕτοιμα καυχήσασθαι. 17 Ὁ δὲ καυχώμενος,
ἐν Κυρίῳ καυχάσθω. 18 Οὐ γὰρ ὁ ἑαυτὸν
†συνιστῶν, ἐκεῖνός ἐστι δόκιμος, ‡ἀλλ᾽ ὃν ὁ
Κύριος συνίστησιν.

# 11

1 Ὄφελον ἀνείχεσθέ μου μικρὸν *τῇ
ἀφροσύνῃ· ἀλλὰ καὶ ἀνέχεσθέ μου. 2 Ζηλῶ
γὰρ ὑμᾶς Θεοῦ ζήλῳ· ἡρμοσάμην γὰρ ὑμᾶς
ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ
Χριστῷ. 3 Φοβοῦμαι δὲ μήπως ὡς ὁ ὄφις
†Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ,
‡οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς
§ἁπλότητος τῆς εἰς τὸν Χριστόν. 4 Εἰ μὲν γὰρ
ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει ὃν οὐκ
ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε ὃ οὐκ
ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον ὃ οὐκ ἐδέξασθε,
καλῶς *ἠνείχεσθε. 5 Λογίζομαι γὰρ μηδὲν
ὑστερηκέναι τῶν ὑπὲρ λίαν ἀποστόλων. 6 Εἰ
δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ᾽ οὐ τῇ γνώσει·

---

† **10:18** συνιστων ¦ συνιστανων CT ‡ **10:18** αλλ ¦ αλλα NA27 SBL WH * **11:1** τη αφροσυνη ¦ τι αφροσυνης CT † **11:3** ευαν εξηπατησεν ¦ εξηπατησεν ευαν CT ‡ **11:3** ουτω 86.6% ¦ — CT 2% § **11:3** απλοτητος 94% ¦ απλοτητος και της αγνοτητος CT 4% * **11:4** ηνειχεσθε ¦ ανειχεσθε ANT BYZ HF TH ¦ ανεχεσθε NA SBL WH

ἀλλ᾽ ἐν παντὶ †φανερωθέντες ἐν πᾶσιν εἰς
ὑμᾶς.
7 Ἢ ἁμαρτίαν ἐποίησα ‡ἐμαυτὸν ταπεινῶν
ἵνα ὑμεῖς ὑψωθῆτε, ὅτι δωρεὰν τὸ τοῦ Θεοῦ
εὐαγγέλιον εὐηγγελισάμην ὑμῖν; 8 Ἄλλας
ἐκκλησίας ἐσύλησα, λαβὼν ὀψώνιον πρὸς τὴν
ὑμῶν διακονίαν· 9 καὶ παρὼν πρὸς ὑμᾶς καὶ
ὑστερηθείς, οὐ κατενάρκησα §οὐδενός· τὸ γὰρ
ὑστέρημά μου προσανεπλήρωσαν οἱ ἀδελφοί,
ἐλθόντες ἀπὸ Μακεδονίας· καὶ ἐν παντὶ ἀβαρῆ
*ὑμῖν ἐμαυτὸν ἐτήρησα καὶ τηρήσω. 10 Ἔστιν
ἀλήθεια Χριστοῦ ἐν ἐμοί, ὅτι ἡ καύχησις αὕτη
οὐ †φραγήσεται εἰς ἐμὲ ἐν τοῖς κλίμασι τῆς
Ἀχαΐας. 11 Διὰ τί; Ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; Ὁ Θεὸς
οἶδεν.
12 Ὃ δὲ ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω
τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμήν, ἵνα
ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς.
13 Οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται
δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους
Χριστοῦ. 14 Καὶ οὐ ‡θαυμαστόν· αὐτὸς γὰρ
ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον
φωτός. 15 Οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ
μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης,
ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν.
16 Πάλιν λέγω, μή τίς με δόξῃ ἄφρονα εἶναι·
εἰ δὲ μήγε, κἂν ὡς ἄφρονα δέξασθέ με, ἵνα

† **11:6** φανερωθεντες 94.5% ¦ φανερωσαντες CT 1.3% ‡ **11:7** εμαυτον ¦ εαυτον PCK § **11:9** ουδενος ¦ ουθενος CT * **11:9** υμιν εμαυτον ¦ εμαυτον υμιν CT † **11:10** φραγησεται ¦ σφραγισεται ST ‡ **11:14** θαυμαστον ¦ θαυμα CT

§κἀγὼ μικρόν τι καυχήσωμαι. 17 Ὃ λαλῶ, οὐ
*λαλῶ κατὰ Κύριον, ἀλλ᾽ ὡς ἐν ἀφροσύνῃ, ἐν
ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. 18 Ἐπεὶ
πολλοὶ καυχῶνται κατὰ †τὴν σάρκα, κἀγὼ
καυχήσομαι. 19 Ἡδέως γὰρ ἀνέχεσθε τῶν
ἀφρόνων, φρόνιμοι ὄντες. 20 Ἀνέχεσθε γάρ,
εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει,
εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις
‡ὑμᾶς εἰς πρόσωπον §δέρει. 21 Κατὰ ἀτιμίαν
λέγω, ὡς ὅτι ἡμεῖς *ἠσθενήσαμεν· ἐν ᾧ δ᾽
ἄν τις τολμᾷ—ἐν ἀφροσύνῃ λέγω—τολμῶ
κἀγώ. 22 Ἑβραῖοί εἰσι; Κἀγώ. †Ἰσραηλῖταί
εἰσι; Κἀγώ. Σπέρμα Ἀβραάμ εἰσι; Κἀγώ.
23 Διάκονοι Χριστοῦ εἰσι;—παραφρονῶν λαλῶ
—Ὑπὲρ ἐγώ. Ἐν κόποις περισσοτέρως,
ἐν ‡πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς
περισσοτέρως, ἐν θανάτοις πολλάκις, 24 ὑπὸ
Ἰουδαίων πεντάκις §τεσσαράκοντα παρὰ μίαν
ἔλαβον. 25 Τρὶς *ἐραβδίσθην, ἅπαξ ἐλιθάσθην,
τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ
πεποίηκα· 26 ὁδοιπορίαις πολλάκις, κινδύνοις
ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ
γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν

---

§ **11:16** καγω μικρον τι ¦ μικρον τι καγω TR * **11:17** λαλω κατα κυριον ¦ κατα κυριον λαλω CT † **11:18** την ¦ — NA SBL TH ‡ **11:20** υμας εις προσωπον ¦ εις προσωπον υμας CT § **11:20** δερει ¦ δαιρει PCK * **11:21** ησθενησαμεν ¦ ησθενηκαμεν CT † **11:22** ισραηλιται ¦ ισραηλειται TH WH ‡ **11:23** πληγαις υπερβαλλοντως εν φυλακαις περισσοτερως 93.6% ¦ φυλακαις περισσοτερως εν πληγαις υπερβαλλοντως CT 1.6% § **11:24** τεσσαρακοντα ¦ τεσσερακοντα CT * **11:25** εραβδισθην ¦ ερραβδισθην ANT NA PCK TR

πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν
θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις· 27 †ἐν
κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν
λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν
ψύχει καὶ γυμνότητι. 28 Χωρὶς τῶν παρεκτός,
ἡ ‡ἐπισύστασίς §μου ἡ καθ᾽ ἡμέραν, ἡ μέριμνα
πασῶν τῶν ἐκκλησιῶν. 29 Τίς ἀσθενεῖ, καὶ
οὐκ ἀσθενῶ; Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ
πυροῦμαι;
30 Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου
καυχήσομαι. 31 Ὁ Θεὸς καὶ πατὴρ τοῦ *Κυρίου
Ἰησοῦ †Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς
αἰῶνας, ὅτι οὐ ψεύδομαι. 32 Ἐν Δαμασκῷ ὁ
ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν
‡Δαμασκηνῶν πόλιν, πιάσαι με §θέλων· 33 καὶ
διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ
τείχους καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ.

# 12

1 Καυχᾶσθαι *δὴ οὐ †συμφέρει μοι·
ἐλεύσομαι ‡γὰρ εἰς ὀπτασίας καὶ
ἀποκαλύψεις Κυρίου. 2 Οἶδα ἄνθρωπον ἐν
Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων—εἴτε ἐν
σώματι οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος
οὐκ οἶδα· ὁ Θεὸς οἶδεν—ἁρπαγέντα τὸν

† **11:27** εν ¦ — CT ‡ **11:28** επισυστασις ¦ επιστασις CT § **11:28** μου ¦ μοι CT * **11:31** κυριου ¦ κυριου ημων ANT TR † **11:31** χριστου ¦ — CT ‡ **11:32** δαμασκηνων πολιν ¦ πολιν δαμασκηνων CT § **11:32** θελων ¦ — NA SBL WH * **12:1** δη ¦ δει CT † **12:1** συμφερει μοι 95.4% ¦ συμφερον μεν CT 2.3% ‡ **12:1** γαρ ¦ δε CT

τοιοῦτον ἕως τρίτου οὐρανοῦ. 3 Καὶ οἶδα
τὸν τοιοῦτον ἄνθρωπον —εἴτε ἐν σώματι,
εἴτε §ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς
οἶδεν— 4 ὅτι ἡρπάγη εἰς τὸν παράδεισον,
καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν
ἀνθρώπῳ λαλῆσαι. 5 Ὑπὲρ τοῦ τοιούτου
καυχήσομαι· ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι,
εἰ μὴ ἐν ταῖς ἀσθενείαις *μου· 6 ἐὰν γὰρ
θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων·
ἀλήθειαν γὰρ ἐρῶ· φείδομαι δέ, μή τις εἰς ἐμὲ
λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει †τι ἐξ
ἐμοῦ. 7 Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων
‡ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ
σαρκί, ἄγγελος §Σατᾶν, ἵνα με κολαφίζῃ,
ἵνα μὴ ὑπεραίρωμαι. 8 Ὑπὲρ τούτου τρὶς τὸν
Κύριον παρεκάλεσα ἵνα ἀποστῇ ἀπ᾽ ἐμοῦ.
9 Καὶ εἴρηκέ μοι, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ
γὰρ δύναμίς *μου ἐν ἀσθενείᾳ †τελειοῦται.
Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς
ἀσθενείαις ‡μου, ἵνα ἐπισκηνώσῃ ἐπ᾽ ἐμὲ
ἡ δύναμις τοῦ Χριστοῦ. 10 Διὸ εὐδοκῶ ἐν
ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν
διωγμοῖς, §ἐν στενοχωρίαις, ὑπὲρ Χριστοῦ·
ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι.
11 Γέγονα ἄφρων *καυχώμενος· ὑμεῖς με
ἠναγκάσατε· ἐγὼ γὰρ ὤφειλον ὑφ᾽ ὑμῶν

---

§ **12:3** εκτος ¦ χωρις NA SBL WH * **12:5** μου ¦ — CT † **12:6** τι ¦ — WH ‡ **12:7** ινα ¦ διο ινα CT § **12:7** σαταν ¦ σατανα CT * **12:9** μου ¦ — CT † **12:9** τελειουται ¦ τελειται CT ‡ **12:9** μου ¦ — WH § **12:10** εν ¦ και CT * **12:11** καυχωμενος 82.7% ¦ — CT 10.2%

συνίστασθαι· οὐδὲν γὰρ ὑστέρησα τῶν ὑπὲρ
λίαν ἀποστόλων, εἰ καὶ οὐδέν εἰμι. 12 Τὰ μὲν
σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν
ἐν πάσῃ ὑπομονῇ, †ἐν σημείοις καὶ τέρασι καὶ
δυνάμεσι. 13 Τί γάρ ἐστιν ὃ ‡ἡττήθητε ὑπὲρ
τὰς λοιπὰς ἐκκλησίας, εἰ μὴ ὅτι αὐτὸς ἐγὼ
οὐ κατενάρκησα ὑμῶν; Χαρίσασθέ μοι τὴν
ἀδικίαν ταύτην.

14 Ἰδού, §τρίτον ἑτοίμως ἔχω ἐλθεῖν πρὸς
ὑμᾶς, καὶ οὐ καταναρκήσω *ὑμῶν· οὐ γὰρ
ζητῶ τὰ ὑμῶν, †ἀλλὰ ὑμᾶς· οὐ γὰρ ὀφείλει
τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ‡ἀλλʼ
οἱ γονεῖς τοῖς τέκνοις. 15 Ἐγὼ δὲ ἥδιστα
δαπανήσω καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν
ψυχῶν ὑμῶν, εἰ §καὶ περισσοτέρως ὑμᾶς
*ἀγαπῶν, †ἧττον ἀγαπῶμαι. 16 Ἔστω δέ,
ἐγὼ οὐ κατεβάρησα ὑμᾶς· ‡ἀλλʼ ὑπάρχων
πανοῦργος, δόλῳ ὑμᾶς ἔλαβον. 17 Μή
τινα ὧν ἀπέσταλκα πρὸς ὑμᾶς, διʼ αὐτοῦ
ἐπλεονέκτησα ὑμᾶς; 18 Παρεκάλεσα Τίτον,
καὶ συναπέστειλα τὸν ἀδελφόν· μήτι
ἐπλεονέκτησεν ὑμᾶς Τίτος; Οὐ τῷ αὐτῷ
πνεύματι περιεπατήσαμεν; Οὐ τοῖς αὐτοῖς
ἴχνεσι;

† **12:12** εν σημειοις 91.2% ¦ σημειοις τε NA SBL WH 4.5% ¦ σημειοις TH 2.3% ‡ **12:13** ηττηθητε ¦ ησσωθητε CT § **12:14** τριτον ¦ τριτον τουτο CT * **12:14** υμων ¦ — CT † **12:14** αλλα ¦ αλλ NA28 PCK TR ‡ **12:14** αλλ ¦ αλλα NA27 SBL TH WH § **12:15** και ¦ — CT * **12:15** αγαπων ¦ αγαπω WH † **12:15** ηττον ¦ ησσον CT ‡ **12:16** αλλ ¦ αλλα NA27 SBL TH WH

19 §Πάλιν δοκεῖτε ὅτι ὑμῖν ἀπολογούμεθα;
*Κατενώπιον τοῦ Θεοῦ ἐν Χριστῷ λαλοῦμεν·
τὰ δὲ πάντα, ἀγαπητοί, ὑπὲρ τῆς ὑμῶν
οἰκοδομῆς. 20 Φοβοῦμαι γάρ, μήπως ἐλθὼν
οὐχ οἵους θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ
ὑμῖν οἷον οὐ θέλετε· μήπως †ἔρεις, ‡ζῆλοι,
θυμοί, §ἐριθεῖαι, καταλαλιαί, ψιθυρισμοί,
φυσιώσεις, ἀκαταστασίαι· 21 μὴ πάλιν
*ἐλθόντα με ταπεινώσει ὁ Θεός μου
πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν
προημαρτηκότων, καὶ μὴ μετανοησάντων
ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ καὶ ἀσελγείᾳ ᾗ
ἔπραξαν.

# 13

1 Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς.
Ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν
σταθήσεται πᾶν ῥῆμα. 2 Προείρηκα καὶ
προλέγω, ὡς παρὼν τὸ δεύτερον, καὶ ἀπὼν
νῦν *γράφω τοῖς προημαρτηκόσι καὶ τοῖς
λοιποῖς πᾶσιν, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ
φείσομαι· 3 ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ
λαλοῦντος Χριστοῦ, ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ,
ἀλλὰ δυνατεῖ ἐν ὑμῖν· 4 καὶ γὰρ †εἰ ἐσταυρώθη
ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ.

§ **12:19** παλιν 92.2% ¦ παλαι CT 3.3% * **12:19** κατενωπιον του ¦ κατεναντι CT † **12:20** ερεις ¦ ερις NA PCK SBL WH ‡ **12:20** ζηλοι ¦ ζηλος CT § **12:20** εριθειαι ¦ εριθιαι WH * **12:21** ελθοντα με ταπεινωσει 47.2% ¦ ελθοντα με ταπεινωση ANT BYZ PCK TR 46.2% ¦ ελθοντος μου ταπεινωσει με TH 1.8% ¦ ελθοντος μου ταπεινωση με NA SBL WH 0.3% * **13:2** γραφω ¦ — CT † **13:4** ει ¦ — CT

Καὶ γὰρ ‡ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ, ἀλλὰ
§ζησόμεθα σὺν αὐτῷ ἐκ δυνάμεως Θεοῦ εἰς
ὑμᾶς.
5 Ἑαυτοὺς πειράζετε εἰ ἐστὲ ἐν τῇ πίστει,
ἑαυτοὺς δοκιμάζετε. Ἢ οὐκ ἐπιγινώσκετε
ἑαυτούς, ὅτι *Ἰησοῦς Χριστὸς ἐν ὑμῖν †ἔστιν;
Εἰ μήτι ἀδόκιμοί ἐστε. 6 Ἐλπίζω δὲ ὅτι
γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι.
7 ‡Εὔχομαι δὲ πρὸς τὸν Θεόν, μὴ ποιῆσαι ὑμᾶς
κακὸν μηδέν, οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν,
ἀλλ᾽ ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ
ὡς ἀδόκιμοι ὦμεν. 8 Οὐ γὰρ δυνάμεθά τι
κατὰ τῆς ἀληθείας, §ἀλλ᾽ ὑπὲρ τῆς ἀληθείας.
9 Χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν, ὑμεῖς
δὲ δυνατοὶ ἦτε· τοῦτο *δὲ καὶ εὐχόμεθα, τὴν
ὑμῶν κατάρτισιν. 10 Διὰ τοῦτο ταῦτα ἀπὼν
γράφω, ἵνα παρὼν μὴ ἀποτόμως χρήσωμαι,
κατὰ τὴν ἐξουσίαν ἣν †ἔδωκέ μοι ὁ Κύριος εἰς
οἰκοδομήν, καὶ οὐκ εἰς καθαίρεσιν.
11 Λοιπόν, ἀδελφοί, χαίρετε· καταρτίζεσθε,
παρακαλεῖσθε, τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε·
καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ ‡εἰρήνης ἔσται
μεθ᾽ ὑμῶν. 12 Ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ
φιλήματι. 13 Ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες.
14 Ἡ χάρις τοῦ §Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ

---

‡ **13:4** ημεις ¦ και ημεις SCR § **13:4** ζησομεθα ¦ ζησομεν CT * **13:5** ιησους χριστος ¦ χριστος ιησους TH † **13:5** εστιν ¦ — CT ‡ **13:7** ευχομαι ¦ ευχομεθα CT § **13:8** αλλ ¦ αλλα NA27 SBL TH WH * **13:9** δε ¦ — CT † **13:10** εδωκε μοι ο κυριος ¦ ο κυριος εδωκε μοι CT ‡ **13:11** ειρηνης ¦ της ειρηνης PCK § **13:14** κυριου ¦ κυριου ημων PCK

ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν. *Ἀμήν.†

* **13:14** αμην ¦ — CT † **13:14** The following scribal note is included in the colophons of many Greek manuscripts: Πρὸς Κορινθίους δευτέρα ἐγράφη ἀπὸ Φιλίππων τῆς Μακεδονίας διὰ Τίτου καὶ Λουκᾶ.

# Η Καινή Διαθήκη
## The New Testament in Ancient Greek with critical text notes

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Translation by: Maurice A. Robinson

Contributor: Robert Adam Boyd

The Text-Critical Greek New Testament is based upon The New Testament in the Original Greek: Byzantine Textform 2018, compiled and arranged by Maurice A. Robinson and William G. Pierpont.
The following disclaimer is printed in the The New Testament in the Original Greek: Byzantine Textform 2018:
Anyone is permitted to copy and distribute this text or any portion of this text. It may be incorporated in a larger work, and/or quoted from, stored in a database retrieval system, photocopied, reprinted, or otherwise duplicated by anyone without prior notification, permission, compensation to the holder, or any other restrictions. All rights to this text are released to everyone and no one can reduce these rights at any time. Copyright is not claimed nor asserted for either the preface, notes, or the new and revised form of the Greek NT text of this edition, nor for the original form of such as initially released into the public domain by the editors, first as printed textual notes in 1979, continuous-text electronic form 1986–present, and in published editions from 1991, 2005, and 2010.
The permitted use or reproduction of the Greek text or other material contained within this volume (whether by print, electronic media, or other form) does not imply doctrinal or theological agreement by the present editors and publisher with whatever views may be maintained or promulgated by other publishers. For the purpose of assigning responsibility, it is requested that the present editors' names and the title associated with this text as well as this disclaimer be retained in any subsequent reproduction of this material.

2024-03-15

---

PDF generated using Haiola and XeLaTeX on 15 Mar 2024 from source files dated 15 Mar 2024
ebdf933b-03a4-5add-853f-51a05e168973